Ακαδημία Αθηνών / Academy of Athens

σον τ' εὖρος γλαυκώπιδος ἔπλετο μήνης 67.1 ἐν γὰρ θερμοτέρῳ τοκὰς ἄρρενος ἔπλετο γαστὴρ (?) 71.1 λιπόξυλος ἔπλετο πίστις 134.4 ἀλλὰ φρὴν ἱερὴ καὶ ἀθέσφατος ἔπλετο μοῦνον, φροντίσι κόσμον ἅπαντα καταΐσσουσα θοῇσιν.

**πελεμίζεσθαι.** Σείομαι/ἀπωθοῦμαι, be shaken/be driven away, 'Εμπεδοκλῆς 31 *πάντα γὰρ ἑξείης πελεμίζετο γυῖα θεοῖο.* Πρβλ. *κινεῖσθαι.*

**πένης** (ἀντίθ. *πλούσιος*). Πτωχός, poor, Δημόκριτος 283 *οὔτε οὖν πλούσιος ⟨ὁ⟩ ἐνδέων οὔτε πένης ὁ μὴ ἐνδέων* 'Αρχύτας 3.10 *διὰ τοῦτον (*sc. *λογισμόν) οὖν οἱ πένητες λαμβάνοντι παρὰ τῶν δυναμένων.* Πρβλ. *οἱ δυνάμενοι, ἐνδεῖν, οἱ δεόμενοι.*

**πενητεύειν.** Στεροῦμαι, be deprived, 'Εμπεδοκλῆς 57.3 *ὄμματά τ' οἶ(α) ἐπλανᾶτο πενητεύοντα μετώπων.* Πρβλ. *ἐνδεῖν.*

**πενίη** (ἀντίθ. *πλοῦτος, εὐπορίη*). Φτώχεια, poverty, Δημόκριτος 101 *ἐκτρέπονται πολλοὶ τοὺς φίλους, ἐπὴν ἐξ εὐπορίης εἰς πενίην μεταπέσωσιν* 219 *χρημάτων ὄρεξις, ἢν μὴ ὁρίζηται κόρῳ, πενίης ἐσχάτης πολλὸν χαλεπωτέρη* 251 *ἡ ἐν δημοκρατίῃ πενίη τῆς παρὰ τοῖς δυνάστῃσι καλεομένης εὐδαιμονίης τοσοῦτόν ἐστι αἱρετωτέρη, ὁκόσον ἐλευθερίη δουλείης* 283 *πενίη πλοῦτος ὀνόματα ἐνδείης καὶ κόρου* 284 *σμικρὰ γὰρ ὄρεξις πενίην ἰσοσθενέα πλούτῳ ποιέει* 291 *πενίην ἐπιεικέως φέρειν σωφρονέοντος.* || Δημόκριτος 24 *μητέρα ... Πενίαν.*

**περαίνειν 1.** Ἔχω ὅριο, have a limit, Μέλισσος 5 *εἰ μὴ ἓν εἴη, περανεῖ πρὸς ἄλλο* **2.** Ἔχω πέρας/θέτω πέρας, have a boundary/ set a boundary, Φιλόλαος 1 *ἁ φύσις δ' ἐν τῷ κόσμῳ ἁρμόχθη ἐξ ἀπείρων τε καὶ περαινόντων* 2 *ἀνάγκα τὰ ἐόντα εἶμεν πάντα ἢ περαίνοντα ἢ ἄπειρα ἢ περαίνοντά τε καὶ ἄπειρα· ἄπειρα δὲ μόνον ⟨ἢ περαίνοντα μόνον⟩ οὔ κα εἴη. ἐπεὶ τοίνυν φαίνεται οὔτ' ἐκ περαινόντων πάντων ἐόντα οὔτ' ἐξ ἀπείρων πάντων, δῆλον τἆρα ὅτι ἐκ περαινόντων τε καὶ ἀπείρων ὅ τε κόσμος καὶ τὰ ἐν αὐτῷ συναρμόχθη.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



*δηλοῖ δὲ καὶ τὰ ἐν τοῖς ἔργοις. τὰ μὲν γὰρ αὐτῶν ἐκ περαινόντων περαίνοντι, τὰ δ' ἐκ περαινόντων τε καὶ ἀπείρων περαίνοντί τε καὶ οὐ περαίνοντι, τὰ δ' ἐξ ἀπείρων ἄπειρα φανέονται* 6.7 *τῶν πραγμάτων, ἐξ ὧν συνέστα ὁ κόσμος, καὶ τῶν περαινόντων καὶ τῶν ἀπείρων* 11.15 *τῶν πραγμάτων τῶν τε ἀπείρων καὶ τῶν περαινόντων.* || **πεπερασμένος.** Περιορισμένος σὲ ἀριθμό, limited in number, Ζήνων 3.3 *εἰ δὲ τοσαῦτά ἐστιν ὅσα ἐστί, πεπερασμένα ἂν εἴη.* Πρβλ. *πέρας.*

**περᾶν.** 'Ορίζω/περικλείω, bound/enclose, Παρμενίδης 1.32 *ἀλλ' ἔμπης καὶ ταῦτα μαθήσεαι, ὡς τὰ δοκοῦντα χρῆν δοκίμως εἶναι διὰ παντὸς πάντα περῶντα.*

**πέρας** (τύπ. *πεῖρας*) **1.** Πέρας/ἄκρον, end/further end, Ξενοφάνης 28.1 *γαίης μὲν τόδε πεῖρας ἄνω παρὰ ποσσὶν ὁρᾶται ἠέρι προσπλάζον* **2.** Πέρας/ἐσχατιά, end/extremity, 'Ηράκλειτος 45 *ψυχῆς πείρατα ἰὼν οὐκ ἂν ἐξεύροιο, πᾶσαν ἐπιπορευόμενος ὁδόν· οὕτω βαθὺν λόγον ἔχει* 'Εμπεδοκλῆς 17.15 *ὡς γὰρ καὶ πρὶν ἔειπα πιφαύσκων πείρατα μύθων, δίπλ' ἐρέω* **3** (ἀντίθ. *ἀρχή*). Πέρας/τέλος, end/termination, 'Ηράκλειτος 103 *ξυνὸν γὰρ ἀρχὴ καὶ πέρας ἐπὶ κύκλου περιφερείας* **4.** Πέρας/ὅριο, end/boundary, Παρμενίδης 8.26-31-42-49 *αὐτὰρ ἀκίνητον μεγάλων ἐν πείρασι δεσμῶν ἔστιν ἄναρχον ἄπαυστον ... κρατερὴ γὰρ 'Ανάγκη πείρατος ἐν δεσμοῖσιν ἔχει ... πεῖρας πύματον, τετελεσμένον ἐστὶ πάντοθεν ... οἷ γὰρ πάντοθεν ἶσον, ὁμῶς ἐν πείρασι κύρει* 10.7 *ὥς μιν ἄγουσ(α) ἐπέδησεν 'Ανάγκη πείρατ' ἔχειν ἄστρων* Μέλισσος 6 *εἰ γὰρ δύο εἴη, οὐδ' ἂν δύναιτο ἄπειρα εἶναι, ἀλλ' ἔχοι ἂν πείρατα πρὸς ἄλληλα* **5** (ἀντίθ. *ἄπειρον*). Πέρας/οριοθετικὴ ἀρχή, end/boundary principle, Πυθαγόρειοι 5 (DK I 452,37) *πέρας καὶ ἄπειρον.* Πρβλ. *περαίνειν.*

**περιγί(γ)νεσθαι 1.** 'Υπερβαίνω/περισσεύω, overdo/be left over, 'Ηράκλειτος 114 *κρατεῖ γὰρ τοσοῦτον ὁκόσον ἐθέλει καὶ ἐξαρκεῖ πᾶσι καὶ περιγίνεται* **2.** Προέρχομαι, derive, Δημόκριτος 218 *πλοῦτος ἀπὸ κακῆς ἐργασίης περιγινόμενος ἐπιφανέστερον τὸ ὄνειδος κέκτηται.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ